ὀρνέου, ὀξὺ πάνυ τὸ ῥύγχος καὶ πριονῶδες ἔχον. Πελαργοὶ μυρίοι.] διὰ τὸ πελαργικὸν τεῖχος τοὺς ἀπὸ Τυρρηνίας ἥκοντας ἀναστῆσαι. Οἱ χαραδριοὶ] ὠνοματοπεποίηται τὸ ὄρνεον παρὰ τὸ ἐν ταῖς χαράδραις διατρίβειν. Ερωδιοὶ λεκάναισι.] παρὰ τὴν ἔραν πέπαιχεν ἐπεὶ πηλὸς ἐκ τῆς ἔρας. τουτέστι τῆς γῆς. ταῦτα δὲ ὡς ἐν κωμῳδίᾳ ἐσχημάτισαι. λεκάνη δὲ τὸ κοινὸν παρὰ τὸ λαὸ ἐπιταλικὸν καὶ τὸ χαίνω. τὸ δὲ Ἀττικὸν λακάνη. Οἱ χῆνες ὑποτύπτοντες.] διὰ τὸ πλατύποδας τῶν ἄλλων μᾶλλον εἶναι τοὺς χῆνας. Τί δῆτα πόδες.] παρὰ τὴν παροιμίαν. τί δῆτα χεῖρες οὐκ ἂν ἐργασαίατο. καὶ νὴ Δί' αἱ νῆτται. ἡ νῆττα εἶδος ὀρνέου ἔχον τὴν πτέρωσιν ἐκ φύσεως, ὥσπερ ζώνην λευκήν. τοῦτο οὖν ἔπαιξεν ὡς ἂν ἐξωσμέ- A νην εἰρηκὼς αὐτήν. ὑπαγωγέα δέ, τὸ ξυστῆρα. πλατὺ δέ ἐστι σίδηρον ᾧ ξύουσι τὸν πηλόν. ἄλλως. τινὲς τῶν νηττῶν ἔχουσιν ὡς ζώνην ἐν κύκλῳ λευκήν. Ἐχοῦσαι κατόπιν.] ὥσπερ παιδία βαστάζουσαι αὐτόν. ὡς εἰώθασι βαστάζειν τὰ παιδία. ἀσαφῶς δὲ λέγει. λέγει γὰρ τὰς χελιδόνας τὸν ὑπαγωγέα ἐπὶ τῶν ὤμων αὐτὰς κομίζειν. τὸν δὲ πηλὸν ἐν τοῖς στόμασι. καὶ ποιοῦσι τοῦτο, ὅταν τὰς νεοττιὰς κατασκευάζωσιν. ὁ δὲ ὑπαγωγεὺς ὥς τινες σιδηροῦν τι ἐστὶ πτυΐδιον. ᾧ ἐχρῶντο οἱ κονιαταί. οἱ δέ, ἐρ- B γαλεῖον οἰκοδομικὸν ᾧ ἀπευθύνουσι τὰς πλίνθους πρὸς ἀλλήλας. τινὲς δὲ αὐτὸ παράξυστον καλοῦσιν. εἰ μὴ ἄρα πηλόν τινα ὑπαγωγέα καλοῦσι, τοιοῦτον γάρ τι καὶ Ἕρμιππος ἐν τοῖς Τριμέτροις ἐμφανίζει.

Σοφώτατοι, Πελεκᾶντες, οἳ τοῖς ῥύγχεσιν
Ἀπεπελέκησαν τὰς πύλας. ἦν δ' ὁ κτύπος
Αὐτῶν πελεκάντων, ὥσπερ ἐν ναυπηγίῳ.
Καὶ νῦν ἅπαντ' ἐκεῖνα πεπύλωται πύ-
λαις
Καὶ βεβαλάνωται. καὶ φυλάττεται κύκλῳ.
Ἐφοδεύεται. κωδωνοφορεῖται. πανταχῆ
Φυλακαὶ καθεστήκασι, καὶ φρυκτωρίαι
Ἐν τοῖσι πύργοις. ἀλλ' ἐγὼ μὲν ἀποτρέχων,
Ἀπονίψομαι. σὺ δ' αὐτὸς ἤδη τἄλλα δρᾶ.

*Sapientissimi, Pelecantes, qui rostris*
*Dolauerunt ianuas. erat autem strepitus*
*Ipsorum Pelecantium tanquam in nauis factio-*
*ne.*
C *Et nunc omnes illi facti sunt ianuis,*
*Et clausi sunt, & custodiuntur circumcirca.*
*Transeuntur, tintinabulo feritur vndiq;*
*Custodiæ statutæ sunt, & lumina*
*In turris. sed ego quidem currens*
*Abluar, tu autem ipse iam alia fac.*

Σχόλια. Πελεκᾶντες] παρὰ τὸ πελεκᾶν τὰ ξύλα, τῷ ὀνόματι τοῦ ὄρνιθος πιθανῶς ἐχρήσατο παίζων. καὶ ὅτι ῥάμφος ἔχει μέγα. Καὶ βεβαλάνωται.] ὡσεὶ εἶπε κε- D κλείδωται, ὅτι βάλανοι λέγονται τὰ μάγγανα τῆς κλειδώσεως. Ἐφοδεύεται.] διοδεύεται. τὸ δὲ κωδωνοφορεῖται, ἀντὶ τοῦ δοκιμάζεται ἡ τῶν φυλάκων φρουρά. Φρυκτωρίαι.] αἱ τῶν πύργων φυλακαί. παρὰ τὸν πυρσὸν καὶ τὸ ὠρεύειν.

BISETVS. φρυκτοὶ, λαμπάδες τινὲς ἀπὸ ξύλων γινόμεναι, ἅστινας βαστάζοντες ἄνω τῶν τοίχων ἐσήμαινον τοῖς πλησιοχώροις, ἢ τοῖς συμμάχοις, ὅταν τινὰς ἑώρων πολεμίους ἐπιόντας, ὡς δεῖ προφυλάξασθαι. οὐ μόνον δὲ ἐπὶ πολεμίων τοῦτο ἐποίουν, ἀλλὰ καὶ ἐπὶ φίλων, ὅταν ἑώρων βοήθειαν ἐρχομένην, ἐσήμαινον πάλιν διὰ τῶν φρυκτῶν, ὡς οὐ δεῖ θορυβεῖσθαι. καὶ ὅτε μὲν φίλους ἐδήλουν, ἐβάσταζον τοὺς φρυκτοὺς ἠρεμοῦντας, ὅταν δὲ πολεμίους, ἐκίνουν. διὸ καὶ τῶν φρυκτῶν, οἱ μέν, φίλιοι, οἱ δέ, πολέμιοι. καὶ οἱ μὲν φίλιοι, ἀκίνητοι. οἱ δὲ πολέμιοι, πολυκίνητοι. ἐκ δὲ τῶν φρυκτῶν, καὶ τοῦ ὠρεῖν, τοῦ φροντίζειν καὶ φυλάττειν σημαίνοντος, τὸ σύνθετον φρυκτωρεῖν, καὶ ἡ φρυκτωρεία, ἡ διὰ τῶν φρυκτῶν, τουτέστι πυρσῶν, καὶ λαμπάδων παραφυλακὴ νυκτερινή, ἢ καὶ σημασία ἢ τῶν φίλων, ἢ τῶν πολεμίων παρουσίας.

Σχόλια. Ἀπονίψομαι.] ἦν γὰρ ἀπὸ πηλοῦ ἢ κονίας ὡς ἀπὸ τῶν ἔργων. Τἄλλα δρᾶ.] ἀντὶ τοῦ πράττε E προστακτικῶς.

BISETVS. Ἐθεῖ] εἰστρέχει πρὸς ἡμᾶς.

## ΧΟΡΟΣ, ΠΕΙΣΘΕΤΑΙΡΟΣ, Ἕτερος ἄγγελος.

## CHORVS, PISTHETERVS, Alter nuntius.

BISETVS. Τοῦ ἀγγέλου ἤδη ἀποχωρήσαντος ὁ χο- F ρὸς τὸν Πεισθέταιρον προσφωνεῖ, ὃς τὴν ταχεῖαν καὶ παράδοξον νεοκτίστου πόλεως οἰκοδομὴν ἐθαύμαζεν. ἐν δὲ τούτῳ ἕτερος ἄγγελος προσέρχεται δηλώσων ὅτι θεός τις τοὺς φύλακας λαθὼν εἰς τὴν πόλιν εἰσῆλθεν.

Χο. Οὗτος. τί ποιεῖς; ἆρα θαυμάζεις ὅτι
Οὕτω τὸ τεῖχος ἐκτετείχισται ταχύ;
Πει. Νὴ τοὺς θεοὺς ἔγωγε. καὶ γὰρ ἄξιον.
Ἴσα γὰρ ἀληθῶς φαίνεταί μοι ψεύδεσιν.
Ἀλλ' ὡδί, φύλαξ γὰρ τῶν ἐκεῖθεν ἄγγελος
Ἐσθεῖ πρὸς ἡμᾶς δεῦρο, πυρρίχην βλέ-
πων.
Ἀγγ. Ἰοὺ ἰού. ἰοὺ ἰού. ἰοὺ ἰού.

*CH. Hic quid facis? nunquid admiraris, quòd*
*Sic murus fabricatus est citò?*
PI. *Per deos ego, etenim dignum.*
*Æqualia enim verè apparent mihi menda-*
G *ciis,*
*Sed sic, custos enim illinc nuncius*
*Incurrit ad nos huc, saltanter aspiciens.*
*NV. Heu, heu, heu, heu, heu, heu,*

Σχόλια. Πυρρίχην βλέπων.] ἔνοπλον καὶ πολεμικόν τι. ἐνόπλιος γὰρ ὄρχησις ἡ πυρρίχη.